Φιλ. Μηδέποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς·
καιρῶν γάρ εἰσι μεταβολαὶ καὶ ⟨τῆς⟩ τύχης.
Μεν. Ἂν εὐτυχῇς, ἄνθρωπε, μὴ φρόνει μέγα·
πάλιν γὰρ ὄψει τῆς τύχης μετατροπήν.
Φιλ. Ὅτ' εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης.
μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.
πρὸς τὴν παροῦσαν ⟨πάντοθ'⟩ ἁρμόζου τύχην.
Μεν. Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν
πεσεῖν δεδοικὼς βούλεται πάλιν πεσεῖν.
Φιλ. †Τὸν δοῦλον ὦ τᾶν προσλαβὼν ὃν ὠνήσω†
†τύχην ἔχοντα δούλην, γνώμην δ' ἐλευθέραν.†
Μεν. †Ἐλευθέρους δούλευε† κοὐχ ἕξεις δούλους·
δυσὶ δούλευε καὶ νόμοις καὶ δεσπόταις.†
Φιλ. Δούλευε, δοῦλε, μᾶλλον ἐκ βουλήσεως·
βάρος γὰρ ἕξεις μᾶλλον ἐκ κελεύσεως.
Μεν. Μίαν πρόνοιαν τῶν ἄνω καὶ τῶν κάτω
θεὸν νόμιζε καὶ σέβου παντὶ σθένει·
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου,
καὶ μήτ' ἐρώτα μήτε μανθάνειν θέλε·
οὐ γὰρ θέλω σε μανθάνειν, τί δὴ θεός.
Φιλ. Πόντου, γυναικός, ⟨καύματος⟩, πυρός, θηρὸς
χειρότερός ἐστιν ὁ προδότης ⟨ὁ⟩ τῶν φίλων.